σιν. τὰ μὲν οὖν περὶ τὴν πολιτείαν τὴν ἐν τοῖς A
νόμοις, τοῦτον ἔχει τὸν τρόπον.

Κεφάλαιον ζ.

Εἰσὶ δέ τινες πολιτεῖαι καὶ ἄλλαι, αἱ μὲν
ἰδιωτῶν, αἱ δὲ φιλοσόφων καὶ πολιτικῶν·
πᾶσαι δὲ τῶν καθεστηκυιῶν, καὶ καθ' ἃς πο-
λιτεύονται νῦν, ἐγγύτερόν εἰσι τούτων ἀμ-
φοτέρων. οὐδεὶς γὰρ οὔτε τὴν περὶ τὰ τέκνα
κοινότητα καὶ τὰς γυναῖκας, ἄλλως κεκαινο- B
τόμηκεν, οὔτε περὶ τὰ συσσίτια τῶν γυναικῶν·
ἀλλ' ἀπὸ τῶν ἀναγκαίων ἄρχονται μᾶλλον. δο-
κεῖ γάρ τισι τὸ περὶ τὰς οὐσίας εἶναι μέγιστον
τετάχθαι καλῶς. περὶ γὰρ τούτων ποιεῖσθαί
φασι τὰς στάσεις πάντας. διὸ Φαλέας ὁ Χαλ-
κηδόνιος τοῦτ' εἰσήνεγκε πρῶτος. φησὶ γὰρ δεῖν
ἴσας εἶναι τὰς κτήσεις τῶν πολιτῶν. τοῦτο δὲ κα-
τοικιζομέναις μὲν εὐθὺς οὐ χαλεπὸν ᾤετο C
ποιεῖν· τὰς δ' ἤδη κατοικουμένας, ἐργωδέστερον
μὲν, ὅμως δὲ τάχιστ' ἂν ὁμαλισθῆναι τῷ τὰς
προῖκας, τοὺς μὲν πλουσίους, διδόναι μὲν, λαμ-
βάνειν δὲ μή· τοὺς δὲ πένητας, μὴ διδόναι μὲν,
λαμβάνειν δέ. Πλάτων δὲ τοὺς νόμους γρά-
φων, μέχρι μέν τινος ᾤετο δεῖν ἐᾶν· πλεῖον δὲ
τοῦ πενταπλασίαν εἶναι τῆς ἐλαχίστης μηδενὶ τῶν
πολιτῶν ἐξουσίαν εἶναι κτήσασθαι, καθάπερ εἴ-
ρηται καὶ πρότερον. δεῖ δὲ μηδὲ τοῦτο λανθάνειν D
τοὺς οὕτω νομοθετοῦντας, ὃ λανθάνει νῦν, ὅτι
τὸ τῆς οὐσίας τάττοντας πλῆθος, προσήκει καὶ τῶν
τέκνων τὸ πλῆθος τάττειν. ἐὰν γὰρ ὑπεραίρῃ τῆς
οὐσίας τὸ μέγεθος ὁ τῶν τέκνων ἀριθμὸς,
ἀνάγκη τόν γε νόμον λύεσθαι, καὶ χωρὶς τῆς
λύσεως φαῦλον τὸ πολλοὺς ἐκ πλουσίων γί-
νεσθαι πένητας. ἔργον γὰρ μὴ νεωτεροποιοὺς εἶναι
τοὺς τοιούτους. διότι μὲν οὖν ἔχει τινὰ δύνα- E
μιν εἰς τὴν πολιτικὴν κοινωνίαν ἡ τῆς οὐσίας
ὁμαλότης, καὶ τῶν πάλαι τινὲς φαίνονται διε-
γνωκότες, οἷον καὶ Σόλων ἐνομοθέτησε, καὶ παρ'
ἄλλοις ἐστὶ νόμος, ὃς κωλύει κτᾶσθαι γῆν, ὁπό-
σην ἂν βούληταί τις. ὁμοίως δὲ καὶ τὴν οὐ-
σίαν πωλεῖν οἱ νόμοι κωλύουσιν, ὥσπερ ἐν
Λοκροῖς νόμος ἐστὶ μὴ πωλεῖν, ἐὰν μὴ φανε-
ρὰν ἀτυχίαν δείξῃ συμβεβηκυῖαν. ἔτι δὲ τοὺς F
παλαιοὺς κλήρους διασώζειν. τοῦτο δὲ λυθὲν
καὶ περὶ Λευκάδα, δημοτικὴν ἐποίησε λίαν
τὴν πολιτείαν αὐτῶν. οὐ γὰρ ἔτι συνέβαινεν
ἀπὸ τῶν ὡρισμένων τιμημάτων εἰς τὰς ἀρ-
χὰς βαδίζειν. ἀλλ' ἔστι τὴν ἰσότητα μὲν
ὑπάρχειν τῆς οὐσίας, ταύτην δ' ἢ λίαν εἶναι πολλὴν, ὥστε τρυφᾶν· ἢ λίαν ὀλίγην

In legibus igitur illa reſpublica ita ſe
habet.

CAPVT VII.

Svnt verò & aliæ quædam reſpublicæ
tum idiotarum, tum philoſophorum,
& in adminiſtratione ipſarum verſatorum.
Omnes autem hę propinquiores ſunt
illis, ſecundum quas nunc regunt, quàm i-
ſtæ duæ. nullus enim neque de commu-
nitate filiorum, neque de mulieribus talé
aliquam introduxit nouitatem, neque e-
tiam de fœminarum comeſſationib. ſed à
neceſſariis magis inchoant. Videtur qui-
buſdam maximum, vt de patrimoniis re-
ctè conſtituatur. nam hinc ſeditiones ori-
ri cunctas aſſerunt. Quamobrem Phaleas
Chalcedonius ante omnia de hac parte
cõſtituit. Inquit enim patrimonia ciuium
æqualia eſſe debere, hoc autem perfacilè
factu eſſe, ſi ſtatim ab ipſa conditione ci-
uitatis prouideretur. Poſtquam verò con-
dita foret, difficilius quidem, attamen ſa-
tis maturè adæquari poſſe, ſi diuites dotes
dét neq. accipiãt, pauperes autẽ cõtrà, acci-
piant dotes, & non tradant. Plato autem
in legibus ſuis vſq. ad aliquid cenſuit eſſe
permittendum. nam ſupra quincuplum e-
ius quod foret minimum, nemini licere
ciuium poſſidere vt prius diximus. Sed o-
portet ne id quidem latere legiſlatorem
(quod certè nũc latet) quod qui patrimo-
nio modum imponit, debet etiam filio-
rum numero modũ imponere. nam ſi ex-
cedat multitudo filiorum patrimonij fa-
cultatem, neceſſarium erit legem abroga-
re: & ſine illa abrogatione improba lex e-
rit, quoniam ex diuitibus pauperes facit,
opus eſt ergo, ne tales ſeditioſi effician-
tur. Quòd igitur valet aliquid in republi-
ca patrimoniorum exæquatio, & vete-
rum aliqui videntur cognouiſſe, vt Solon
conſtituit, & apud alios lege cauetur, vt
non quantum quiſque velit, ſed quantum
lex permittit, agri poſſideant. Eadem quo-
que ratione patrimonia ſua alienare le-
ges vetant: vt eſt apud Locros lege cau-
tum, ne quis patrimonium alienare poſſit,
niſi euidentem calamitatem oſtenderit
ſuperueniſſe, præterea vt antiquæ hære-
ditates conſeruentur. Quod ſublatum a-
pud Leucada, valde popularem eorum ci-
uitatem effecit. non enim amplius euenit,
ex taxatione cenſus ad magiſtratus aſſu-
mi. Sed & æqualitatem quidem patrimo-
niorum conſtituit: verũ hęc aut ita magna
eſſe, vt deliciari liceat: aut ita exigua,